# Βυζαντινοί Ιστορικοί και Χρονογράφοι ΙΙ

**Διδάσκων: Αναπλ. Καθηγητής Αθανάσιος Αγγέλου**

**6η ενότητα: «Η χρονολόγηση και η χρονική ακολουθία στις ιστορικές αφηγήσεις»**

# <u>Κύρια σημεία του μαθήματος</u>

Γενική εισαγωγή στον ΄χρόνο΄ ως όρο στα προοίμια των ιστορικών της περιόδου και στην χρήση του ὀρου κατά την αφήγηση. Εξέταση του ζητήματος κατά πόσον και υπό ποίαν έννοια η χρονική διαδοχή αποτελεί άξονα ιστοριογραφικό και κριτική παρουσίαση των απόψεων σχετικά με την χρονολόγηση των γεγονότων από τους ιστορικούς. Ιδιαίτερες πλευρές του θέματος αφορούν στην αθέτηση της χρονικής ακολουθίας, στο φαινόμενο της «αναστροφής», την

# **Κύρια σημεία του μαθήματος (συνέχεια)**

επανεισαγωγή θεμάτων, την ασυνέχεια του χρονικού ειρμού.

# Ακολουθούν τα υπό εξέταση κείμενα του Νικήτα Χωνιάτη

**ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Ανάλυση των στίχων 56-60)

Ὁ δὲ Κομνηνὸς Ἀνδρόνικος ὁ τοῦ βασιλέως ἐξάδελφος Μανουήλ, περὶ οὗ τὸ λέγειν ἐν τῇ κατὰ τὸν βασιλέα τοῦτον ἱστορίᾳ ἔρρευσεν ἱκανώτατα, διατρίβων τηνικαῦτα κατὰ τὸ Οἴναιον, ἐπεὶ πύθοιτο τὸν τοῦ Μανουὴλ θάνατον καὶ διαστασιάζειν ἔγνωκε τὰ βασίλεια, τὸν παλαιὸν τῆς τυραννίδος ἀνασκάλλει ἔρωτα. ἀλλὰ μήπω περὶ τούτων, καθ' εἱρμὸν δὲ προϊὸν

**ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Σχόλια των στίχων 56-60)

VA = a, PW, RMDF = b

**42** ἑαυτοὺς V **43** ὡς om. W **43—44** τῇ-συγγίνεται (sive γενόμενος) om. W **44** συγγίνεται καὶ VB: lect. codd. P b hab. A μέτεισι τοὺς πολλοὺς (πολλοὺς: φίλους W) φιλίᾳ καὶ χρήμασι ante καὶ καθελεῖν add. AP$^{pc}$W Bekk τοῦτον: τὸν βασιλέα AW: αὐτὸν cum P b scr. A$^{mg}$ **45—46** ὥσπερ — σκέπτεται i. r. 15 litt. et mg. P **45** ὥσπερ — τεκούσης: μετὰ τῆς ἑταιρίας W: καθὼς καὶ ἐπὶ τὴν κοίτην τῆς δεσποίνης ἀνέβη B γενήσεσθαι: γενέσθαι A$^{mg\gamma\rho}$ W **47** τὰ om. R τὴν βασιλείαν αὐτὴν: τὰ τῆς βασιλείας πράγματα B **49** διέθετο R **53** -μένον scr. et καὶ λίαν i. r. 5 litt. P τε λίαν καὶ W **54** ἀνέχον om. V **57** ἔρρευσεν ἱστορία P κατέρρευσεν Bekk **58** ἐπειδὴ P τοῦ om. W

**44** συγγίνεται καὶ: ξύμφυτος (σύμφ. Bekk) μικροῦ (μικροῦ om. AP) καὶ σύμπνους γενόμενος (γινόμενος D) AP b Bekk τοῦτον: αὐτὸν P b Bekk δυναστείας: βασιλείας b Bekk **45** ὥσπερ — τεκούσης om. b γενήσεσθαι: θέσθαι b **47** βασίλειον αὐλὴν b Bekk

15 van Dieten, Nik. Chon. Hist.

**ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Ανάλυση των στίχων 61-90)

τὸ λέγειν ἐκεῖθεν τῆς ἱστορίας τῶν κατὰ τὸν ἄνδρα τοῦτον ἐχέσθω, ὁπόθεν ἔχεσθαι ἄμεινον συναφείας ἕνεκα καὶ τοῦ μὴ παραλιπεῖν τι τῶν ῥηθῆναι ἀξίων.

* Ὁ Ἀνδρόνικος τοίνυν οὗτος τὰς λαβὰς ἐκφεύγων τοῦ Μανουὴλ ἀειφυγίαν εἵλετο καὶ πόλεις ἀμείψας συχνὰς καὶ πλεῖστα ἐθνῶν ἄστεα κατιδὼν τέλος, ὡς εἰπόντες ἔχομεν, καταλύει παρὰ τῷ Σαλτούχῳ· τοπάρχης δ' ἦν οὗτος εἰς ἀρχὴν ἔχων ἐξαιρεθεῖσαν τὴν τῇ Χαλδίᾳ προσεγγίζουσαν χώραν, Ῥωμαίοις μὲν πάλαι ὑπόφορον, τότε δὲ τοῖς Τούρκοις καὶ τοῖς τούτων ὑπείκουσαν ἔθεσι. καὶ παρειληφώς τι φρούριον αὐτοῦ ἑκόντος καὶ τῇ φυσικῇ τούτου ἐρυμνότητι τὴν ἀπὸ τῆς | τέχνης προσθεὶς ἐκεῖσε προσέμενε συμπλανῆτιν ἔχων ἑαυτῷ καὶ συνέκδημον τὴν Κομνηνὴν Θεοδώραν, ἥτις ἀθεμίτως αὐτῷ συνηυνάζετο θυγάτηρ Ἰσαακίου οὖσα τοῦ σεβαστοκράτορος· ἐξ ἀδελφῶν δ' ἔφυσαν ἄμφω, Ἰσαάκιος καὶ Ἀνδρόνικος.

Ὁ τοίνυν αὐτοκράτωρ Μανουὴλ συνειληφέναι οὐκ ἔχων Ἀνδρόνικον, ἀλλ' ὅσα καὶ Ἰξίων Ἥρας τούτου ἀποπλαζόμενος, ὡς γοῦν νεφέλην τὴν ἀνεψιὰν Θεοδώραν περισχεῖν διὰ φροντίδος ἐτίθετο καὶ τοῦ κατὰ σκοπὸν ἐπιτυχὴς γεγονὼς διὰ τοῦ τότε τὴν ἀρχὴν τῆς Τραπεζοῦντος ἀνεζωσμένου Νικηφόρου τοῦ Παλαιολόγου μετὰ βραχὺ καὶ αὐτὸν ἐπισπᾶται Ἀνδρόνικον, ὅσα καὶ δελητίῳ τῇ Θεοδώρᾳ κατασπώμενον καὶ τῷ ταύτης ἀγκιστρευόμενον ἔρωτι, οὐ μικρῶς δὲ καὶ τῷ τῶν παίδων πυρὶ δαπανώμενον, οὓς ἀπέτεκεν αὐτῷ Θεοδώρα. στείλας τοίνυν πρέσβεις ἐς βασιλέα αἰτεῖται ὧν πεπαρῴνηκεν ἀμνηστίαν, πρὸς δὲ καὶ ἀσφάλειαν ὡς οὐδέν τι πείσεται θυμαλγὲς ἀφικόμενος. καὶ τοῦ βασιλέως πρὸς ἄμφω οὐκ ἀπατηλῶς κατανεύσαντος μετά τινα καιρὸν προσχωρεῖ.

Πολυμήχανος δ' ὢν Ἀνδρόνικος καὶ παντοίοις δόλοις καζόμενος ἁλύσει σιδηρέᾳ βαρυταλάντῳ διαλαμβάνει τὸν τράχηλον καὶ ταύτην ἔνδον συσχὼν καὶ περιθάλψας τῷ ἱματίῳ ἐς τὰ τῶν ποδῶν ἔσχατα καταβαίνουσαν, ὡς εἴη βασιλεῖ τε ἀφώρατος καὶ τοῖς τὸ βῆμα τούτου πληροῦσιν ἀθέατος, λαβὼν τοῦ ὀφθῆναι τῷ αὐτοκράτορι καὶ θεάσασθαι τὸ ἐνδόσι-

**ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Σχόλια των στίχων 61-90)

**65** πόλεις — κατιδών: cf. Hom. α 3 **66** εἰπόντες ἔχομεν: p. 142, 23—28 **76** ὅσα — Ἥρας: cf. Pind. Pyth. 2, 23—48 cum schol.

---

VA = a, PW, RMDF = b

**61** καὶ πάλιν post τοῦτον add. APW πόθεν A **64** οὗτος τοίνυν R **66** ἔσχομεν F τῷ Σαλτ. etiam Sc: Σαλτ. τινί AW **67** τῇ Χαλδαίᾳ Bekk: τὴν Χαλδαίων γῆν B **69** ἔθνεσι W **71** πλανήτην W αὐτῷ V **72** συνωνάζετο W οὖσα Ἰσαακίου R **73** δ' om. W **75** οὐκ: μὴ P **76** τῆς Ἥρας V **78** γεγονώς: φανεὶς A^mgγρ P **80** δηλητηρίῳ V **81** δὲ om. DF Bekk τῷ om. V^ac D **82** εἰς Bekk **84** τι om. V **85** κατευνάσαντος A: καταπεύοντος W **87** πολυταλάντῳ Bekk περὶ τὸν τράχηλον M **89** τοῦτο F

**62** ἔχεσθαι: ἄρχεσθαι b Bekk

# **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Ανάλυση των στίχων)

μον, ἐπεὶ ἅ|παξ ἐκείνῳ εἰς θέαν κατέστη, μέγας μεγαλωστὶ κατὰ τοῦ δαπέδου ἐκτείνεται προτείνας τὴν ἅλυσιν καὶ δακρύοις τέγγων τοὺς ὀφθαλμοὺς ἐδεῖτο θερμότερον καὶ περιπαθῶς καθικέτευε συγγνώμην εὑρεῖν ἐφ' οἷς δῆθεν παραλελύπηκεν. ὁ δὲ βασιλεὺς ἐπὶ τοῖς δρωμένοις ἔκθαμβος γεγονὼς αὐτός τε προήχθη πρὸς δάκρυα καὶ τοὺς ἐξεγεροῦντας ἐπέταξεν. ὁ δὲ οὐκ ἀναστῆναι τῶν κάτω διισχυρίζετο, εἰ μὴ βασιλέως ἐπιτεταχότος αὐτόν τις τῶν παρεστηκότων διὰ τῆς ῥυμοτομίας ἐφελκύσει τοῦ βήματος λαβόμενος τῆς ἁλύσεως καὶ προσουδίσει τῷ θρόνῳ τῷ βασιλικῷ. ἀμέλει καὶ γέγονεν, ὡς ἐδεῖτο Ἀνδρόνικος. ὑπουργήκει δὲ πρὸς τοὔργον τοῦτο ὁ Ἄγγελος Ἰσαάκιος ὁ καθελὼν τῆς τυραννίδος Ἀνδρόνικον ὕστερον· καὶ θαυμάσας ἄν τις τὸ τελεσθὲν τηνικάδε καιροῦ οὐκ εἰς ἄλογον συγκυρίαν ἢ αὐτόματον ἀπολύσει τοῦτο περίπτωσιν.

Τῷ δ' οὖν τότε λαμπρότατα προσδεχθεὶς ὁ ἀνὴρ καὶ φιλοφροσύνης μεγαλοπρεποῦς ἀξιωθείς, ὡς ἔδει τηλίκον ἄνδρα χρόνιον ἐπανήκοντα, πρὸς τὸ Οἴναιον ἀποστέλλεται, ἐκεῖσε τὰς διατριβὰς τελέσων καὶ τὴν μακρὰν ἀνακωχεύσων περιοδείαν καὶ τὸν πολυετῆ καταπαύσων πλάνον. ᾔδεσαν γὰρ ἀμφότεροι τὰ τῆς ἐν ταὐτῷ συνουσίας εἰς τὰς προτέρας ἐπαναλύσοντα συμφοράς· μηδὲ γὰρ ἠρεμήσειν ὅλως τὸν φθόνον καὶ οἷς ἔργον τῷ φιλαιτίῳ τὴν παρὰ τοῖς κρατοῦσιν οἰκείωσιν ἀρύεσθαι καὶ ταῖς τῶν ἄλλων διαβολαῖς ἑαυτοὺς κρατύνειν καὶ εἰς μείζους προσεπαίρειν τιμάς.

Ἦν οὖν Ἀνδρόνικος Διός τε πόρρω καὶ κεραυνοῦ, | παρὰ τοσοῦτον οὐ τὸν πρώην ἕλκων πόνηρον βίοτον, παρ' ὅσον οὐ τῆς τῶν Ῥωμαίων ἐπλάζετο ὑπερόριος καὶ δωρεῶν ἐνεφορεῖτο βασιλικῶν.

Ἐκεῖσε τοίνυν ὢν τὸν τοῦ Μανουὴλ ἠνωτίσατο θάνατον καὶ τὰς ἐν τοῖς βασιλείοις νόσους ἠκρίβωκε καὶ ὡς ὁ βασιλεὺς Ἀλέξιος ἱππασμοῖς διαχεῖται καὶ προστέτηκε παιδιαῖς, ὁπόσαις φιληδοῦσιν οἱ παιδαριώδεις τὴν φρόνησιν, τῶν δὲ παιδοκομούντων αὐτὸν εὐπατριδῶν οἱ μὲν κατὰ τὰς μελίσσας συχνὰ πρὸς τὰς ἐπαρχίας λύουσι τὸ πτερὸν καὶ ὡς μέλι τὰ χρήματα τιθαιβώσσουσιν, οἱ δὲ κατὰ τὰς αἶγας τοῦ τῆς βασιλείας

## **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Σχόλια των στίχων)

8 τότε: a. 1180 mense Iul.

---

91—92 μέγας μεγαλωστὶ . . . ἐκτείνεται: cf. Hom. Σ 26 **10** πρὸς — ἀποστέλλεται: cf. Eust. 28, 7—10 **17** Διὸς — κεραυνοῦ: cf. Diogen. 7, 77 b; Apost. 16, 51; Karathanasis 4 **18** ἕλκων — βίοτον: cf. p. 32, 47

---

VA = a, PW, RMDF = b

**91** καθάπαξ APW Bekk **92** τίγκων codd. **95** πρὸς δάκρυα προήχθη Bekk προσέταξεν R **2** (ῥυμοτο)μίας ἐφ(ελκύσει) i. r. P **3** καί: σὺ W **5** Ἰσαάκιος ὁ Ἄγγελος Bekk **8** (πρ)οσδεχθεὶς ὁ ἀνὴρ i. r. 10 litt. P **9** τηλικοῦτον Bekk χρόνιον ἄνδρα M **11** πλάνον: πόνον D **13** γάρ: γὰρ ἂν APW Bekk **15** ἐπικρατύνειν APpcW Bekk σὺ τῆς: σύτε M **18—20** σὺ — τὸν om. R

**94** δήπου P b Bekk οὕτως post δρωμένοις add. b **2** ἑλκύσει b Bekk **3** βασιλείῳ b Bekk **7** τοῦτο om. b **8** ὁ ἀνὴρ om. b **18** τῶν om. b Bekk

15*

# **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Ανάλυση των στίχων)

ἐρῶσι θαλλοῦ καὶ συνεχῶς ἐρωτιῶσι τουτονὶ δρέπεσθαι, ἔνιοι δὲ τὰς ὗς μιμούμενοι ἐκ τῶν ῥυπαρωτέρων προσόδων λιπαίνονται, πρὸς μὲν τὸ ἐπαινετὸν καὶ τῆς κοινῆς πατρίδος ὠφέλιμον οὐδ᾽ ἀναθρεῖν ὅλως οὐδ᾽ ἀνακύπτειν αἱρούμενοι, ταῖς δὲ μυσαραῖς ἐγκυλινδούμενοι πράξεσι καὶ συωδῶς πρὸς ἅπαν ἐγκυπτάζοντες χείριστον.

Αἰτίαν οὖν ἐφιλοκρίνει καὶ ἀνηρεύνα περιεργότερον, δι᾽ ἧς εὐα|φόρμως τῇ βασιλείᾳ ἐπίθοιτο. καὶ πολλοὺς λογισμοὺς ἀνελίξας καὶ πᾶσαν μηχανὴν μετελθὼν τέλος τὸ τοῦ ὅρκου βιβλίον ἔπεισιν, ὃν τῷ Μανουὴλ καὶ τῷ υἱῷ ἐκείνου ᾽Αλεξίῳ εἶχεν ὀμωμοκώς, καὶ μεθ᾽ ἑτέρων εὑρὼν καὶ ταῦτα ἐγκείμενα - χρεὼν δὲ μὴ ὑπονοθεύειν ἑτέρᾳ φράσει τὰ ῥήματα, ἀλλ᾽ ὡς ἐπὶ λέξεων εἶχον, οὑτωσὶ καὶ δηλοῦν, διεξῄεσαν δὲ ὧδε- „καὶ εἴ τι δὲ ἴδω ἢ νοήσω ἢ ἀκοῇ παραλήψομαι εἰς ἀτιμίαν ὑμῶν καὶ λύμην τοῦ ὑμετέρου φερόμενον στέμματος, | καὶ ὑμῖν τὴν περὶ τούτου διδοὺς ἐσοίμην εἴδησιν καὶ αὐτὸς δέ, ὡς ἐξόν μοι, τοῦτο κωλύω."

Καὶ τοῖς ῥήμασι τούτοις ἐπικαθίσας ὡς αἱ μυῖαι τοῖς μώλωψι, πάνυ χρησίμοις οὖσι πρὸς ἣν πάλαι ὤδινε τυραννίδα ἐμβριθέστερον ἔχων τὸ ἦθος καὶ τὸ φρόνημα ἀρχικώτερον, ἐπάλληλα τὰ γράμματα ἔστελλε πρός τε τὸν ἀνεψιὸν καὶ βασιλέα ᾽Αλέξιον καὶ τὸν τῆς μεγίστης ἱερωσύνης κοσμήτορα Θεοδόσιον καὶ τοὺς λοιπούς, οἷς ζώπυρον φιλίας ὑπῆν πρὸς τὸν κατοιχόμενον βασιλέα τὸν Μανουήλ, ἐν δεινῷ τιθέμενος τὰ τῆς ἀσχήμονος φήμης περιλαλήματα καὶ τὸν ἀγανακτοῦντα ὑποκρινόμενος, εἰ μὴ ὁ πρωτοσεβαστὸς τῆς δυναστείας παραλυθείη καὶ τὴν μετριωτέραν τύχην εἴη μετειληφὼς καὶ διὰ τὸν προσέρποντα μὲν ἐντεῦθεν καὶ ἤδη καθιστάμενον προδηλότατον τοῦ βασιλέως ᾽Αλεξίου ὄλεθρον, ἀλλὰ δὴ καὶ τὴν ἀπρεπῆ οὐχ ἥκιστα φήμην καὶ ὠσὶν ἡμέροις οὐκ εὐπαράδεκτον, ἥτις ἐπ᾽ ἄκρων τειχέων κηρύσσεται καὶ πύλαις δυναστῶν ἐφεδρεύει καὶ πρόεισι παγκόσμιον περιήχημα. καὶ ταῦτα λέγων καὶ

**ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Σχόλια των στίχων)

**33—34** τὸ — ὁμωμοκώς: cf. Eust. 28, 6—10 **40** ὡς — μώλωψι: cf. Nic. Or. 180, 1; Panopl. Dogm. lib. XXVII, p. κδ´ ed. Eustratiades **42 — 52** ἐπάλληλα — περιήχημα: cf. Eust. 30, 10—13, qui tamen tantum de epistulis post Andronici filiae fugam scriptis loquitur

---

VA = a, PW, RMDF = b

**26** θαλοῦ RM^ac FK Bekk ὀρεκτιῶσι V: ἐρωτιοῦσι FK **31** περιεργοτέραν V (εὐα)φ(όρ)μ(ως) i. r. P: εὐαρμόστως W **33** μέτεισιν V δ W **34** τῷ ἐκείνου υἱῷ V Sc: τῷ υἱῷ αὐτοῦ B εὑρηκὼς APW et add. ῥημάτων APW Bekk **37** λύμην: λύπην AW Sc **38** φέρον V διδοὺς om. W **39** καὶ om. W κωλύσω W **41—42** ἔχων ἦθος καὶ φρόνημα APW **42** ἦθος τε καὶ D **43** ἀρχιερωσύνης V **45** κατηχούμενον R **48** ἐντεῦθεν: ὄφιν A **50** ἀλλὰ — ἀπρεπῆ: καὶ τὴν ἀπρεπῆ δὲ V δή : δὲ Bekk τὸν ἀπρεπῆ . . . λόγον . . . ὅστις APW ἡμέροις: ἡμετέρας B: -οις Bekk **51** πύλας V **52** πρόσεισι W περιήχημα om. AW **53** εἴποι RK Bekk ἂν om. D καὶ om. M

# ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ (Ανάλυση των στίχων)

γράφων μεθ᾽ οἵας οὐκ εἴπῃ τις ἂν πειθανάγκης καὶ λαμυρότητος (ἦν γάρ, εἰ καί τις ἄλλος, γραμμάτων ἔμπειρος καὶ ἀνὰ στόμα φέρων τοῦ πνευματορρήτορος Παύλου τὰ ἐπιστόλια) εἶχε πάντας τῇ αὐτοῦ γνώμῃ προστιθεμένους καὶ πρὸς ἐκεῖνον νενευκότας μονώτατον ὡς φιλορώμαιον ἄνδρα καὶ χρόνῳ μακρῷ καὶ πείρᾳ πολιωτέρᾳ τὰ κάλλιστα συλλεξάμενον.

Καὶ αὐτὸς δὲ τοῦ Οἰναίου ἀπάρας πρὸς τὴν τῶν πόλεων βασιλίδα μετέβαινε | τὸν οἰκεῖον καθ᾽ οὓς ἐπισταίη ὅρκον ἀναπτύσσων καὶ τοῖς πυνθανομένοις διεξιὼν τὸ τῆς κινήσεως αἴτιον. καὶ περὶ ἐκεῖνον ὅσα καὶ πρὸς ἀετὸν ὑψινεφῆ καὶ γαμψώνυχα κολοιοὶ ἐγάρυον ἄκραντα οἱ πραγμάτων νεωτέρων τρέφοντες ἔφεσιν καὶ οἷς ἡ πάλαι φήμη περιεσπούδαστο, ἣ δήπου βασιλεύσειν Ἀνδρόνικον προηγόρευε. καὶ εἶχεν αὐτὸν οὕτω μεταβάντα ἡ τῶν Παφλαγόνων μερὶς καὶ ὅσα καὶ σωτῆρα καὶ κατὰ θεῖον ἥκοντα προσδεχόμενον ἐριτίμως.

Ὁ δὲ πρωτοσεβαστὸς Ἀλέξιος ἐκπάγλως ἐμαίνετο, τῷ ἰδίῳ πίσυνος κράτει καὶ τῇ παραδυναστείᾳ τῆς δεσποίνης καταχρώμενος, ὥσπερ καὶ ὁ πολλὰ πολλάκις ἐδηδοκὼς φάρμακα δράκων καὶ γενόμενος δυσαντίβλεπτος. οὐκοῦν οὐκ ἦν τι τῶν ἁπάντων, ὃ μὴ δι᾽ αὐτοῦ ἐπεραίνετο. εἰ δέ τι καὶ διεπεπράχει λαθὼν ἕτερος, ἢ τῆς βασιλίσσης δεηθεὶς ἢ τὸν βασιλέα καρυατιζόμενον εὑρὼν ἢ ῥιμμῷ λιθιδίων καταλαβὼν προσανέχοντα καὶ τῷ καιρῷ πρὸς περάτωσιν τοῦ αἰτουμένου χρησάμενος, οὐδὲ τοῦτο τῶν ἐκείνου ἐκπεριίστατο ὀφθαλμῶν· σκεψάμενος γὰρ τρόπον, δι᾽ οὗ τὰ παρ᾽ ἄλλων διηνυσμένα πρὸς ἐκεῖνον ἐπαναλύσουσιν ὡς εἰς στροφάλιγγα περιδινούμενα ῥεύματα, δόγμα ἐκ βασιλέως ἐξήνεγκε

# ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ (Σχόλια των στίχων)

59 ἀπάρας: secundum Eustathium non nisi paulo post „bellum sacrum", de quo infra p. 232, 32 sqq.

---

57 πείρᾳ πολιωτέρᾳ: cf. Plat. Tim. 22 b   61—62 ὅσα — ἄκραντα: cf. Pind. Ol. 2, 87/8   66 κατὰ θεῖον: cf. p. 13, 16   68—69 ὥσπερ — δράκων: cf. p. 123, 80—81

---

VA = a, PW, RMDF = b

**53—54** ἦν — ἔμπειρος om. V: ἦν γὰρ καὶ λόγου ῥητορικῆς μέτοχος B: ἦν γὰρ καὶ γραμμάτων ἔμπειρος X   **54** ἀεὶ post φέρων add. APW Bekk   **55** γνώμη: γλώττη W   **57** τὰ om. R   **60** οὐς: ὅσον R   **62** πρὸς om. APW Bekk   **65** καὶ pr. cancell. V   καὶ alt. om. APWR   **67** ἐκπάγλως ἐμαίνετο: τὴν τῶν ὅλων διοίκησιν εἰς ἑαυτὸν ἐπεσπᾶτο (cf. b lin. 68—69) PW Bekk   **67** πίσυνος: πεποιθὼς PW **68** τὴν — ἐπεσπᾶτο cum PW post κρατεῖ add. A   καταχρώμενος om. V: ἀκρατῶς ἔχων APW   **70** οὐκ ἦν οὖν οὐδὲν ἁπάντων V   **72** καρυαντιζόμενον A: (καρυ)αν-(τιζόμενοι) i. r. P   λιθιδίῳ WD   **73** πέρας APW   **74** οὐδὲ: ὁ δὲ R   περιίστατο W   **75** διηνύ μενα ex διηνυσμένα F   ἐπαναλύουσιν W   **76** δόγματα V

**67** ἐκπάγλως ἐμαίνετο om. b   πίσυνος: φυσιούμενος b Bekk   **68—69** ὥσπερ — δυσαντίβλεπτος: διαστασιάζοντας εἶχε τῶν ἐξ αἵματος ἐκείνῳ (ἐκείνου DF) πλείστους καὶ μάλισθ' ὅτι τὴν τῶν ὅλων διοίκησιν ἐς (ἐς om. R) ἑαυτὸν (αὐτὸν M) ἐβιάζετο b

## **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Ανάλυση των στίχων)

μὴ ἄλλως εὐπαράδεκτα οἴεσθαι ὅσα ἡ βασιλικὴ χεὶρ ὑποσημαίνεται, γράμματα, εἰ μὴ πρότερον ὀφθεῖ|εν τῷ Ἀλεξίῳ καὶ οὗτος τὴν δεξιὰν τῷ βατραχείῳ ἐπιδοὺς βάμματι τὴν τοῦ ,,ἐτηρήθησαν'' ἐπισημασίαν βραβεύσειεν. ἦγεν οὖν, ὡς ᾑρεῖτο, πάντα καὶ μετεπέττευε, καὶ ἅπερ οἱ ἐκ Κομνηνῶν πρότερον βασιλεῖς ἱδρῶσι πολλοῖς, εἴπω δὲ καὶ τοὺς πένητας καλαμώμενοι, συλλογιμαίως ἀπεθησαύρισαν χρήματα, ταῦτα τῷ πρωτοσεβαστῷ καὶ τῇ βασιλίσσῃ πρὸς ἀποχέτευσιν προὔκειντο· καὶ τὸ τοῦ Ἀρχιλόχου ἄντικρυς ἐπεραίνετο, ὅ φησιν, εἰς ἔντερον πόρνης πολλάκις μεταρρυΐσκεσθαι τὰ χρόνῳ καὶ πόνῳ συλλεγέντα μακρῷ.

Ἐντεῦθεν ἡ πᾶσα πόλις πρὸς Ἀνδρόνικον ἔβλεπε καὶ ἡ ἐκείνου ἄφιξις ὡς ἐν σκοτομήνῃ λαμπτὴρ καὶ ἀστὴρ ἀρίζηλος ἐδοξάζετο. τῷ τοι καὶ ἐνῆγον διὰ γραμμάτων κρύβδην πεμπομένων οἱ μέγα τότε δυνάμενοι καταταχῆσαι τὴν εἴσοδον, ὡς ἀντιταξομένων οὐδένων, οὔτε μὴν πρὸς τὸ ἀντωπὸν τῆς ἐκείνου στησομένων σκιᾶς, ἀλλ᾽ ὑπτίαις ὅλων προσδεξομένων χερσὶ καὶ ἀναπετασόντων ἀσμένως τὰς τῆς καρδίας περιπτυχάς.

**ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Σχόλια των στίχων)

**84—85** τὸ — μακρῷ: cf. Aelian. Var. Hist. 4, 14 **86—87** ἐντεῦθεν — ἐδοξάζετο: cf. Eust. 26, 23 sqq. **87** ἀστὴρ ἀρίζηλος: cf. Pind. Ol. 2, 55

---

VA = a, PW, RMDF = b

**77** οἴεσθαι: κρίνεσθαι APW Sc **78** τῷ om. W **79** βατραχείῳ: ἢ πρασίνῳ D$^{s}$: πρασίνου B: πρασινὸν Sc βάμματι V: χρώματι cum PW b scr. A τοῦ: τοῦτο R: τούτου M σημασίαν R **80** βραβεύσειεν: πρεσβεύσειεν V μετεπέπτευεν Bekk **81** βασιλεῖ W **82** συλλογίμως A **83** προύκειτο Bekk **84** Ἀρχιλόγου WB ἔντερον: ἕτερον R **84—85** (πόρ)νης — μεταρ(ρυΐσκεσθαι) i. r. 12 litt. P ῥυΐσκεται W **86** πρὸς etiam B: ἐς V **87** καὶ ὡς ἀστὴρ V **88** αὐτὸν post ἐνήγγον add. V Sc ἐκπεμπομένων V **89** οὔτε: εἴτε V **92** πτυχάς V **93** πολλοὶ μὲν γὰρ καὶ ἄλλοι τῶν ἐπισήμων πρὸς τὸ ἔργον τοῦτο Ἀνδρόνικον διὰ γραφῶν λαθραίων ἐπερρώννυον ante διαφερόντως add. W προσκράτει R θαρραλέως A$^{mg}$: ἀνυποστόλως AW **95** γὰρ om. W **1** μικροῦ ante ἀποπνιγομένη suppl. W$^{s}$ **1—2** τῷ — ἐρευνᾶσθαι V: βλέποντες τὰ παρὰ τοῦ πρ. πρὸς τὴν δέσποιναν ἄπρεπα ἐργαζόμενα B: τῇ περὶ τῆς μητρυιᾶς δυσκλεεῖ φήμῃ καὶ κατὰ τοῦ πρωτοσεβαστοῦ μῖσος ἄσπονδον τρέφουσα A: lect. codd. P b hab. A$^{mg}$: τῇ . . . φήμῃ (= A) καὶ τὴν πατρ. βασ. ὑπὸ τοῦ πρ. συλᾶσθαι· ἔτρεφε γὰρ κατ' αὐτοῦ ἄσπονδον μῖσος W **3** προσεπικτωμένη AW **4** οὐ AW

**79** βάμματι: χρώματι PW b Bekk **85** ῥυΐσκεσθαι b **1—2** τῷ τὴν πατρῴαν βασιλείαν ὑπὸ τοῦ πρωτοσεβαστοῦ συλᾶσθαι P b Bekk **2** δὲ om. b